ματα· ἀδύνατον γὰρ ἀποδεῖξαί τι μὴ ἀρξάμενον ἀπὸ τῶν οἰκείων ἀρχῶν καὶ συνείραντα μέχρι τῶν ἐσχάτων. ὁρίζεσθαι μὲν οὖν οὔτ᾽ ἀξιοῦσιν οἱ ἀποκρινόμενοι οὔτ᾽, ἂν ὁ ἐρωτῶν ὁρίζηται, προσέχουσιν· μὴ γενομένου δὲ φανεροῦ τί ποτ᾽ ἐστὶ τὸ προκείμενον, οὐ ῥάδιον ἐπιχειρεῖν. μάλιστα δὲ τὸ τοιοῦτον περὶ τὰς ἀρχὰς συμβαίνει· τὰ μὲν γὰρ ἄλλα διὰ τούτων δείκνυται, ταῦτα δ᾽ οὐκ ἐνδέχεται δι᾽ ἑτέρων, ἀλλ᾽ ἀναγκαῖον ὁρισμῷ τῶν τοιούτων ἕκαστον γνωρίζειν.

Ἔστι δὲ δυσεπιχείρητα καὶ τὰ λίαν ἐγγὺς τῆς ἀρχῆς· οὐ γὰρ ἐνδέχεται πολλοὺς πρὸς αὐτὰ λόγους πορίσασθαι, ὀλίγων ὄντων τῶν ἀνὰ μέσον αὐτοῦ τε καὶ τῆς ἀρχῆς, δι᾽ ὧν ἀνάγκη δείκνυσθαι τὰ μετὰ ταῦτα. τῶν δὲ ὅρων δυσεπιχειρητότατοι πάντων εἰσὶν ὅσοι κέχρηνται τοιούτοις ὀνόμασιν, ἃ πρῶτον μὲν ἄδηλά ἐστιν εἴτε ἁπλῶς εἴτε πολλαχῶς λέγεται, πρὸς δὲ τούτοις μηδὲ γνώριμα πότερον κυρίως ἢ κατὰ μεταφορὰν ὑπὸ τοῦ ὁρισαμένου λέγεται. διὰ μὲν γὰρ τὸ ἀσαφῆ εἶναι οὐκ ἔχει ἐπιχειρήματα· διὰ δὲ τὸ ἀγνοεῖσθαι εἰ παρὰ τὸ κατὰ μεταφορὰν λέγεσθαι τοιαῦτ᾽ ἐστίν, οὐκ ἔχει ἐπιτίμησιν.

Ὅλως δὲ πᾶν πρόβλημα, ὅταν ᾖ δυσεπιχείρητον, ἢ ὅρου δεῖσθαι ὑποληπτέον ἢ τῶν πολλαχῶς ἢ τῶν κατὰ μεταφορὰν εἶναι λεγομένων ἢ οὐ πόρρω τῶν ἀρχῶν, διὰ τὸ μὴ φανερὸν εἶναι πρῶτον ἡμῖν τοῦτ᾽ αὐτό, κατὰ τίνα ποτὲ τῶν εἰρημένων τρόπων ἐστὶν ὃ τὴν ἀπορίαν παρέχεται· φανεροῦ γὰρ ὄντος τοῦ τρόπου δῆλον ὅτι ἢ ὁρίζεσθαι ἂν δέοι ἢ διαιρεῖσθαι ἢ τὰς ἀνὰ μέσον προτάσεις πορίζεσθαι· διὰ τούτων γὰρ δείκνυται τὰ ἔσχατα.

---

**36** *τι*] *τὸν* u *τι τὸν* fort. Bo **38** *οὐκ* (Leo[l])—*οὐδ᾽* Cu, fort. Bo (contra Al[c]) **39** *γινομένου* u ‖ ante *τί* add. *τοῦ* C **158b 5** *δὲ* om. u ‖ *σφόδρα* Al[p] om. Leo[c] ‖ *τῆς* om. C **6** *πορίσασθαι λόγους* C **7** *αὐτῶν* C Bo, sed cf. 156a 34. 36 ‖ *τῶν ἀρχῶν* Bo ‖ *ἐξ* u **8** *μεταυτά* B **8. 9** *argumentabiles* Bo **9** *πάντων* AB *πάντων μάλιστα* u Al[1] Bo *μάλιστα* C (cf. Ind. 403a 12sqq.) om. Al[p] Leo[p] **11** *πότερα* A **12** *ὑπὸ τοῦ ὡρισμένου* u *de definito* Bo **14** *τοιοῦτό* B Bo **18** *εἶναι*] *de definito esse* Bo ‖ *διὰ* Cu (cf. Al[p] 543, 21sq. sim. Leo[p]) *ἢ διὰ* AB Bo Bk. Waitz